eul_wid: dwa-ab

*Ἀμειψίας* · Ameipsias the Comic Poet

# Comic Fragments on Socrates

*Ἀποσπάσματα περὶ Σωκράτους Κωμικά*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_β]Ἐγὼ δ’ ἰὼν
book 1.2 πειράσομαι εἰς τὴν ἀγορὰν ἔργον λαβεῖν. Β. ἧττον γὰρ οὖν νῆστις καθάπερ κεστρεὺς ἀκολουθήσεις ἐμοί.
book 2.1 Ἡ Μανία, φέρ’ ὀξύβαφα καὶ κανθάρους καὶ τὸν
book 2.2 ποδανιπτῆρ’ ἐγχέασα θὔδατος.
book 3 Ἐγὼ δὲ πᾶσίν εἰμι πέντε καὶ δύο.
book 4 Δυοῖν ὀβολοῖν ἔγχουσα καὶ ψιμύθιον.
book 1.1 Σώκρατες ἀνδρῶν βέλτιστ’ ὀλίγων, πολλῶν δὲ ματαιό-[ln_1]ταθ’, ἥκεις καὶ σὺ πρὸς ἡμᾶς καρτερικός τ’ εἶ; πόθεν ἄν
book 1.2 σοι
book 1.3 χλαῖνα
book 1.1 [ln_2][spk_β]γένοιτο; Β. τουτὶ τὸ κακὸν τῶν
book 1.2 σκυτοτόμων κατ’ ἐπήρειαν γε-[ln_3]γένηται. οὗτος μέντοι
book 1.3 πεινῶν οὕτως οὐπώποτ’ ἔτλη κολακεῦσαι.
book 2.1 Ὥστε
book 2.2 ποιοῦντες
book 2.3 χρησμοὺς αὐτοὶ διδόας’ ᾄδειν Διοπείθει τῷ παραμαινομένῳ.
book 3 Δίδοται μάλισθ’ ἱερώσυνα, κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ’ ἀριστερά.
book 4.1 Ὀρφοῖσι
book 4.2 σελαχίοις
book 4.3 τε καὶ φάγροις βορά.
book 1.1 Καὶ σὺ μὲν * * * ἦλθες καββαλὼν
book 1.2 τριώβολον, καί τί που κἀμαρτύρησας
book 1.3 ψεῦδος, ὥστ’ ἀνεψύχης.
book 1.1 Κοὐδείς

book 1.2 σοὐστὶν τῶν

book 1.3 πλουτούντων, μὰ τὸν Ἥφαιστον,[ln_1]προσομοίως καλλιτράπεζος καὶ βουλόμενος λιπαρὸν

book 1.4 ψωμὸν καταπίνειν.

book 2.1 Λαγὸν

book 2.2 ταράξας πῖθι τὸν θαλάσσιον.

book 3.1 Τὸ μὲν δόρυ μετὰ τῆς ἐπιχάλκου

book 3.2 πρὸς

book 3.3 Πλαταιαῖς ἀπέβαλεν.

book 1.1 [spk_β]Αὔλει μοι μέλος, σὺ δ’ ᾆδε

book 1.2 πρός· τήνδ’ ἐκπίομαι δ’ ἐγὼ τέως. Β. αὔλει σύ, καὶ σὺ τὴν ἄμυστιν λάμβανε. „Οὐ χρὴ πόλλ’ ἔχειν θνητὸν ἄνθρωπον,[ln_5]„ἀλλ’ ἐρᾶν καὶ κατεσθίειν· σὺ δὲ κάρτα

book 1.3 φείδῃ.

book 2 Ἔρρ’ ἐς κόρακας, μονοφάγε καὶ τοιχωρύχε.

book 3 Οὐ σχῖνος οὐδ’ ἀσφάραγος οὐ δάφνης κλάδοι.

book 5 Ἐπ’ αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org